ἀναφέρουσι τὴν αἰτίαν καὶ μέμφονται ἑαυτοῖς, οἱ δὲ εἰς ἄλλους. οἱ μὲν οὖν μὴ δόλως ἁμαρτάνοντες θεοί εἰσιν· οἱ δὲ ἁμαρτάνοντές τε καὶ μὴ ἐφιστάνοντες ἐκ διαμέτρου τούτοις ἀθλιώτατοι· ὅσοι δὲ ἐφιστάνουσιν καὶ ἐφιστάνοντες εἰς ἑαυτοὺς ἀναφέρουσι τὴν αἰτίαν, ἧττον ἁμαρτάνουσιν· οἱ δὲ εἰς ἄλλους μᾶλλον ἁμαρτάνουσιν θεία λέγοντες αἴτια εἶναι τῆς ἁμαρτίας, ὡς ἐκεῖνος ἔφη·

ἀλλὰ Ζεὺς καὶ μοῖρα καὶ ἱεροφοῖτις ἐρινύς.

ὥστε δεῖ ἑαυτῷ μέμφεσθαι καὶ πάλιν ἐπιστρέφειν ἐπὶ τὸ κρεῖττον· οὕτω γοῦν κακεῖνος εἶπεν·

ἀλλ' ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας
ἂψ ἐθέλω ἀρέσαι.

ἐκ πάντων τοίνυν δέδεικται ἄχρηστος οὖσα ἡ ῥητορική.

p. 480 a. ὅπου ὡς τάχιστα δώσει δίκην.

ἰδοὺ αἰνίττεται τὸν λόγον. μάλιστα γὰρ ὁ λόγος θᾶττον 4 ἐπιρραπίζει καὶ ἀπάγει· ὁ γὰρ δικαστής ἐστιν ὅτε καὶ ἐᾷ καὶ οὐκ ἐπιστρέφει.

p. 480 b. καὶ ἀνίατον.

διὰ τί ἀνίατον; τί οὖν ἀεὶ κολάζεται μηδέποτε ἀπαλλαττό- 5 μενος, καὶ μὴν οὐκ αἰωνία ἡ κόλασις· εἴ γε βούλεται ὁ θεὸς ἐπὶ τὸ ἀγαθὸν ἡμᾶς φέρεσθαι, τὸ δὲ ἀεὶ δίκας διδόναι ἐν τῷ παρὰ φύσιν ἐστίν, τὸ δὲ παρὰ φύσιν κακόν· ἄλλως τε εἰ ἐπιστρέφωμεν, ἵνα λοιπὸν νήψωμεν· εἰ τοίνυν ἀεὶ κολαζόμεθα, μάτην ἡ κόλασις· πῶς τοίνυν λέγεται αἰωνία ἡ ὑπὸ γῆν κό-

---

8 T 87 11 *I* 119

---

| | | |
|---|---|---|
| 2 mg. | α' ἀναμάρτητος | ὁ θεός |
| | β' ἐφιστάνει καὶ ὅτι τῆς ἁμαρτίας αὐτὸς αἴτιος | ὁ ἧττον ἁμαρτάνων |
| | γ' ἐφιστάνει ὅτι ἁμαρτάνει ἄλλον αἰτιώμενος | ὁ μᾶλλον ἁμαρτάνων |
| | δ' ἁμαρτάνων καὶ μὴ ἐφιστάνων | ὁ ἀθλιώτατος |

19 mg. ἀπορία 24 mg. λύσις. ση. τίνα τὴν αἰωνίαν κόλασιν λέγει

---

8 ἱεροφοῖτις **M** ἠεροφοῖτις codd. Hom.